*στήμονας*)· ἀλλ' εἰσὶ καὶ οὓς εὗρες οὐ κοιμωμένους, οὐδὲ βαθεῖ τῷ ὕπνῳ κεκαρωμένους, ἵνα καὶ τούτοις ἐπισπείρῃς τὰ ζιζάνια, δούλους ὄντας Κυρίου, ἑστῶτας ἐν οἴκῳ Κυρίου, καὶ εὐλογοῦντας τὸν Κύριον, ποιμένας ἱερούς, ἀγραυλοῦντας ἐπιστημόνως τῆς πίστεως τὸ μυστήριον καὶ φυλάσσοντας φυλακὰς τῆς νυκτὸς καὶ τὸν λύκον σέ, τὸν κλέπτην, τὸν ἐπιθέτην ἀποσοβοῦντας, οἵτινες ἐν ἀσφαλεῖ τῇ πίστει τοὺς πόδας ἐρείδοντες καὶ μὴ ῥᾳδίως ἐνδιδόντες σαλεύεσθαι· ἔτι καὶ τὸν θεόθεν αὐτοῖς δεδομένον ἔχουσι φύλακα, μηδόλως ἐπινυστάζοντα, τὸν θεόστεπτον καὶ κράτιστον Αὐτοκράτορα, τὸν ἐν τῷ κρατεῖν πρώτως ἑαυτοῦ καὶ τὴν ὀρθὴν πίστιν κρατύνειν ὡς μάλιστα, οὕτως καὶ τὴν κοσμικὴν αὐτοκρατορίαν εὐσεβοφρόνως ἰθύνοντα, τὸν οὐδὲν ἧττον τῆς εὐσεβείας ἢ τῆς βασιλείας προεστῶτα καὶ προασπίζοντα· ὃς τῷ συντόνῳ τῆς ἐγρηγόρσεως τῶν ἀκοιμήτων μὲν ἀστέρων οὐδὲν ἀποδεῖ, ἁμιλλᾶσθαι δὲ καὶ τοῖς ἀσωμάτοις νόοις φιλονεικεῖ, νύκτας ὅλας ἴσα ταῖς ἡμέραις διατελῶν ἄγρυπνος ἐν τῷ τοῦ κοινοῦ φροντίζειν συμφέροντος. Οὗτος οὕτως ἀεὶ διαγρηγορῶν, ἐπειδή σου καὶ νῦν τῆς κατὰ τῆς ἐκκλησίας ἐπιβουλῆς ταύτης ᾔσθετο, καίτοι πλείσταις ὅσαις τρικυμίαις κοσμικῶν πραγμάτων περιαντλούμενος, πάσαις ἀγρίαις, μανικὸν οἷον ἐπαφριζούσαις καὶ δεινὸν ἅπαν ἀπειλούσαις, πάντοθεν ἐπανισταμέναις, ἐκ θαλάσσης, ἐκ γῆς,*

---

*) Ἡσαΐ. ε΄. 21.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ